A μεταβάλλον ὅτε μεταβάλλει, ἔχει τινὰ αὐτοῖς ἀληθῆ λόγον μὴ οἴεσθαι εἶναι. καίτοι ἔστι γε ἀμφισβητήσιμον. τό τε γὰρ ἀποβάλλον ἔχει τι τοῦ ἀποβαλλομένου, καὶ τοῦ γιγνομένου ἤδη ἀνάγκη τι εἶναι. ὅλως τε εἰ φθείρεται, ὑπάρξει τι ὄν· καὶ εἰ γίγνεται, ἐξ οὗ γίγνεται, καὶ ὑφ' οὗ γεννᾶται, ἀναγκαῖον εἶναι, καὶ τοῦτο μὴ εἶναι εἰς ἄπειρον. ἀλλὰ ταῦτα παρέντες, ἐκεῖνα λέγωμεν, ὅτι οὐ ταὐτό ἐστι τὸ μεταβάλλειν κατὰ τὸ ποσὸν καὶ κατὰ τὸ ποιόν. B κατὰ μὲν οὖν τὸ ποσὸν ἔστω μὴ μένον, ἀλλὰ κατὰ τὸ εἶδος ἅπαντα γιγνώσκομεν. ἔτι δ' ἄξιον ἐπιτιμῆσαι τοῖς οὕτως ὑπολαμβάνουσιν, ὅτι καὶ αὐτῶν τῶν αἰσθητῶν ἐπὶ τῶν ἐλαττόνων τὸν ἀριθμὸν ἰδόντες οὕτως ἔχοντα, περὶ ὅλου τοῦ οὐρανοῦ ὁμοίως ἀπεφήναντο. ὁ γὰρ περὶ ἡμᾶς τοῦ αἰσθητοῦ τόπος, ἐν φθορᾷ καὶ γενέσει διατελεῖ μόνος ὤν· ἀλλ' οὐθὲν, ὡς εἰπεῖν, C μόριον τοῦ παντός ἐστιν. ὥστε δικαιότερον ἂν δι' ἐκεῖνα τούτων ἀπεψηφίσαντο, ἢ διὰ ταῦτα ἐκείνων κατεψηφίσαντο. ἔτι δὲ δῆλον, ὅτι καὶ πρὸς τούτους ταὐτὰ τοῖς πάλαι λεχθεῖσιν ἐροῦμεν. ὅτι γάρ ἐστιν ἀκίνητός τις φύσις, δεικτέον αὐτοῖς, καὶ πειστέον αὐτούς. καίτοι γε συμβαίνει τοῖς ἅμα φάσκουσιν εἶναι καὶ μὴ εἶναι, ἠρεμεῖν μᾶλλον φάναι πάντα, D ἢ κινεῖσθαι. οὐ γάρ ἐστιν εἰς ὅ, τι μεταβαλεῖ. ἅπαντα γὰρ ὑπάρχει πᾶσι. περὶ δὲ τῆς ἀληθείας, ὡς οὐ πᾶν τὸ φαινόμενον ἀληθές, πρῶτον μὲν, ὅτι οὐδ' ἡ αἴσθησις ψευδὴς τοῦ ἰδίου ἐστὶν, ἀλλ' ἡ φαντασία οὐ ταὐτὸν τῇ αἰσθήσει. εἶτ' ἄξιον θαυμάσαι εἰ τοῦτ' ἀποροῦσι πότερον τηλικαῦτά ἐστι τὰ μεγέθη, καὶ τὰ χρώματα τοιαῦτα, οἷα τοῖς ἄποθεν φαίνεται, E ἢ οἷα τοῖς ἐγγύθεν· καὶ πότερον οἷα τοῖς ὑγιαίνουσιν, ἢ οἷα τοῖς νοσοῦσι· καὶ βαρύτερα, πότερον οἷα τοῖς ἀσθενέσι, ἢ οἷα τοῖς ἰσχύουσι· καὶ ἀληθῆ, πότερον οἷα τοῖς καθεύδουσιν, ἢ οἷα τοῖς ἐγρηγορόσιν. ὅτι μὲν γὰρ οὐκ οἴονταί γε, φανερόν. οὐθεὶς γοῦν ἐὰν ὑπολάβῃ νύκτωρ Ἀθήνησιν εἶναι, ὢν ἐν Λιβύῃ, πορεύεται εἰς τὸ ᾠδεῖον. ἔτι δὲ περὶ τοῦ μέλλοντος, ὥσπερ καὶ Πλάτων λέγει, οὐ δήπου ὁμοίως κυρία ἡ τοῦ ἰατροῦ F δόξα καὶ ἡ τοῦ ἀγνοοῦντος, οἷον περὶ τοῦ μέλλεσθαι ὑγιοῦς, ἢ μὴ μέλλοντος. ἔτι δὲ ἐπ' αὐτῶν τῶν αἰσθήσεων, οὐχ ὁμοίως κυρία ἡ τοῦ ἀλλοτρίου καὶ ἰδίου, ἢ τοῦ πλησίον, καὶ τοῦ αὑτῆς· ἀλλὰ περὶ μὲν χρώματος ὄψις, οὐ γεῦσις· περὶ δὲ χυμοῦ, γεῦσις, ἀλλ' οὐκ ὄψις· ὧν ἑκάστη ἐν τῷ αὐτῷ χρόνῳ περὶ τὸ αὐτὸ, οὐδέποτέ φησιν ἅμα οὕτω καὶ οὐχ οὕτως ἔχειν.

A tur, cùm mutatur, habet aliquam veritatẽ, non esse putare. At hoc etiam ambiguum est. Abiiciens enim habet aliquid eius quod abiicit, ac necesse est, aliquid etiam eius, quod fit, esse. Et simpliciter si corrumpitur, erit aliquid ens. Et si fit, necesse est esse, ex quo fit, & à quo generatur, & hoc non esse in infinitum. Sed his omissis, illa dicamus, quod non est idem secundum quantitatem, & secundum qualitatem transmutari. Detur itaque nõ perma-
B nere secundum quantitatem, attamen secundum speciem omnia cognoscimus. Item, dignum est reprehendere eos, qui ita arbitrantur: quoniam cùm & ipsorũ sensibilium pauciora numero ita se habere viderent, de toto tamen cælo similiter senserunt. Hic enim qui circa nos est solùm sensibilium locus, in corruptione & generatione est, qui nulla (vt ita dicam) vniuersi pars est. Vnde iustius fuisset propter
C illa, ista etiam absoluisse, quàm propter ista, illa condemnasse. Item manifestum est, quod & ad istos eadem dicemus, quæ olim dicta sunt. Quod enim est immobilis quædam natura, ostendendum & persuadendum est eis. At accidit eis, qui simul dicunt esse, & non esse, magis dicere quiescere cuncta, quàm moueri. Non enim est, in quo quicquam moueretur: nam omnia omnibus insunt. De veritate
D vero, quod non omne, quod apparet, verum sit, primo quidem neque sensus proprij fallax est. Sed phantasia non est idem, quod sensus. Deinde admiratione dignum est, si hoc dubitant, vtrum tantæ sint magnitudines, talésque colores, quales eminus, an quales cominus apparent: & vtrum qualia sanis, an qualia ægrotantibus: & grauiora, vtrum qualia debilibus, an qualia robustis: & vera, vtrum
E qualia dormientibus, an qualia vigilantibus. Quod enim non arbitrantur, patet: nemo etenim si noctu existimet se Athenis esse, cùm in Libya sit, ad Ariopagum vadit. Item de futuro (vt Plato quoque ait) non est profecto similiter certa medici, & ignari opinio: vtputa, de futuro sano, aut non futuro. Item ipsismet sensibus non est similiter certus qui alieni est, & qui proprij: nec illius, qui propè est, sed
F de colore quidem visus, non gustus, de sapore gustus, & non visus, quorum nullus vnquam ait eodem tempore circa idem simul ita, & non ita se habere.